# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΩΣΗΦ ΤΟΥ ΗΣΥΧΑΣΤΟΥ

Ψαλλομένη τῇ ΙΣΤ΄τοῦ Αὐγούστου μηνός.

Ποίημα
τοῦ Μητροπολίτου Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας
ΙΩΗΛ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἡσυχίας τὸ ἄνθος,
τὸ πολυέραστον,
τὸν ζηλωτὴν τὸν μέγαν,
παλαιῶν μοναζόντων,
ἐρήμου τῆς ἐν Ἄθῳ τὸν οἰκιστήν,
τῆς εὐχῆς τὸν συνέμπορον,
καθηγητὴν ἀκριβέστατον τῆς εὐχῆς,
Ἰωσὴφ ἐγκωμιάσωμεν.

Ἀπὸ παιδὸς ἡλικίας,
ἕως καὶ γήρατος,
ἐστήριξας τὸν νοῦν σου,
Ἰωσὴφ πρὸς τὰ ἄνω,

τὰ τάλαντα αὐξήσας ἀσκητικῶς,
εἰς τὰ δέκα μακάριε˙
διό σου πάντες αἰτούμεθα ταπεινῶς,
χαρισμάτων τὰ δωρήματα.

Ἡ Φιλοθέου ἐν Ἄθῳ,
Μονὴ ἀγάλλεται,
ἐπὶ τῇ ἐπετείῳ,
Ἰωσὴφ τῆς σῆς μνήμης,
αὐτῆς γὰρ ὁ ἡγούμενος μαθητής,
ὁ Ἐφραὶμ ἐχρημάτισε,
σοῦ τοῦ ἁγίου ἀλείπτου ἐπακριβῶς,
πολιτείαν μιμησάμενος.

Ἐν ἐρημίαις τοῦ Ὄρους,
οἰκῶν τὰ σπήλαια,
καὶ τὰς ὀπὰς ὡς λέγει,
ὁ Ἀπόστολος Παῦλος,
προσείλκυσας τὴν ἄκτιστον τοῦ Χριστοῦ,
θείαν χάριν καὶ εἴληφας,
ἀποκαλύψεων πλῆθος ὑπερφυῶν,
Ἰωσὴφ θεομακάριστε.

Δόξα. Ἦχος β΄.

Τὴν ἀσκητικὴν προαιρούμενος ζωήν,
ὡς τρυγὼν φιλέρημος,
τὰς καλύβας καὶ σπήλαια,
τοῦ Ἄθωνος ὄρους,
ἡδέως κατέλαβες,
τῶν χαμαὶ κειμένων,
καὶ τῶν ἐπικήρων,
ὅλως καταφρονήσας˙
διὸ γενόμενος συντόνῳ ἀσκήσει θεοειδής,
ἀνῆλθες ἐν ταῖς μοναῖς τῶν ὁσίων,
καὶ σὺν αὐτοῖς Ἰωσὴφ πρεσβεύεις,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος β΄.

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα,
καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα,
καὶ πάσης κτίσεως τιμιωτέρα,
ἡ δι' ὑπερβάλλουσαν καθαρότητα,
τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη,
ἐν ταῖς τοῦ Υἱοῦ χερσί,
σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν,
καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς,
καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

## Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὅσιε Ἰωσήφ,
τοῦ Ἄθωνος ὁ κόσμος,
καὶ ἀσκητῶν τὸ κλέος,
μὴ παύσῃ ταῖς εὐχαῖς σου,
φυλάττων τοὺς ἱκέτας σου.

Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται.

Σκέπαζε τὴν μονήν,
τοῦ Φιλοθέου πάτερ,
τὴν σὲ τιμῶσαν ὕμνοις,
ὀξείαις σου πρεσβείαις,
πρὸς τὸν Χριστὸν τὸν Κύριον.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν,
ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ Ὁσίων.

Ἄσατε τῷ Θεῷ,
οἱ ἀσκηταὶ τοῦ Ἄθω,
καὶ πλῆθος μοναζόντων,
οἱ ἔχοντες τὸ ἦθος,
τοῦ Ἰωσὴφ ὡς πρότυπον.

Δόξα. Τριαδικόν.

Ἤχθη ὁ Ἰωσήφ,
είς θεωρίας θείας,
ἀκτίστοις ἐνεργείαις,
ζωαρχικῆς Τριάδος,
ὡς σκεῦος τὸ κατάλληλον.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα Μαριάμ,
ἁγίου Ὄρους φύλαξ,
σὺν Ἰωσὴφ μὴ παύσῃ,
ἀεὶ ἐκδυσωποῦσα,
ὑπὲρ ἡμῶν Πανάχραντε.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον,
τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ
καὶ Ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ.

Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄
καὶ ψάλλομεν δ΄ μεθέορτα τῆς ἑορτῆς τῆς Κοιμήσεως
καὶ τὰ ἑξῆς στ΄ προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Κυκλευτὴς ἐνθεώτατος,
ἐν τῷ ὄρει τοῦ Ἄθωνος,
ἐπ΄ ἐσχάτων ὤφθης παμμάκαρ ὅσιε,
ἐπιθυμῶν τὸ ἀκρότατον,
καὶ ἄκρως ἡσύχιον,
ταῖς εὐχαῖς σου Ἰωσήφ,
καὶ ἐντεύξεσι σπήλαιον·
διὸ εἴληφας,
Παρακλήτου χαρίσματα ποικίλα,
τὰ φωτίζοντα τὸν νοῦν σου,
καὶ τῆς ψυχῆς αἰσθητήρια.

Ἁγιώτατοι πλάνητες,
Ἰωσὴφ καὶ Ἀρσένιε,
ἐν πολλαῖς νηστείαις ὡς ἄλλοι ἄγγελοι,
καὶ τῶν δακρύων τοῖς χεύμασι,
γονάτων ταῖς κάμψεσι,
καὶ δεήσεσι πυκναῖς,
τῆς ψυχῆς τὰ οἰδήματα,
ἰατρεύσατε,
καὶ ὡς ἄστρα πολύφωτα ἐν τόπῳ,
τῆς Παρθένου Θεοτόκου,
τοὺς μοναστὰς κατηυγάσατε.

Ἔχων σθένος ἐξαίρετον,
καὶ φιλόπονον πρόθεσιν,
καὶ τὸν νοῦν σου πάτερ ἀμετακίνητον,

πρὸς τὸν Χριστὸν καθικέτευες,
τοῦ κόσμου τὴν σώτειρα,
καὶ μητέρα τοῦ Θεοῦ,
Ἰωσὴφ βοηθῆσαί σοι,
ἀποκρούσασθαι,
πειρασμοὺς τοῦ δολίου πτερνοσκόπου,
τῆς σαρκὸς ἐπαναστάσεις,
καὶ τῆς οἰήσεως φρόνημα.

Ἀνεδείχθης ἐν Ἄθωνι,
σιωπῆς ἐργαστήριον,
καὶ νηστείας ἄκρας σύζυγος ἄριστος,
καὶ πρακτικῆς ἐξασκήσεως,
ὁ φίλος πανεύφημε,
διὰ βίου Ἰωσήφ,
ἀσκητῶν ἐγκαλλώπισμα,
καὶ ὑπόδειγμα,
ἵνα κτήσῃ τῆς χάριτος τὴν γεῦσιν,
τὴν γλυκαίνουσαν ἀφάτως,
τὰ τῆς ψυχῆς αἰσθητήρια.

Ὁ ἀλείπτης καὶ μίμημα,
Ἰωσὴφ ἐν ταῖς σκήτεσι,
Βασιλείου πάτερ καὶ Νέας γέγονας,
τῶν μοναστῶν ὁδηγίαις σου·
διὸ καὶ προώδευσαν,
ἐξασκούμενοι εὐχῇ,
νοερᾷ ὡς ἰσάγγελοι,
καὶ κατέλαβον,
περιβλέπτους μονὰς ὡς ἀγελάρχαι,
ἐν τῷ ὄρει τῷ Ἁγίῳ,
τῆς ὑπερφώτου Θεόπαιδος.

Τὸ σὸν τέλος μακάριον,
ὡς πολλῶν ἀξιάγαστε,
τῶν ἁγίων ὤφθη πᾶσι πανάριστε,
ἐν ἀῤῥωστίαις καὶ θλίψεσι,

τοῦ σώματος ἔδραμες,
ἐν μοναῖς τοῦ οὐρανοῦ,
τῶν ὁσίων λαμπόμενος,
ὡς ἰσότιμος,
καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων,
τὸν τιμώντων σου τὴν μνήμην,
ὦ Ἰωσὴφ θεοτίμητε.

Δόξα. Ἦχος πλ. β´.

Ὅσιε πάτερ,
θαρσαλέῳ φρονήματι,
καὶ νεανικῷ ζήλῳ,
ἀπὸ παιδὸς ἡλικίας,
ἀπηρνήσω τὰ θέλγητρα,
τοῦ πονηροῦ τούτου κόσμου,
καὶ γνώμην σχὼν θεόφιλον,
τὸν Ἄθωνα κατέλαβες,
ὀφθεὶς ἐν τοῖς ἐσχάτοις χρόνοις,
ἀνὴρ θεοειδέστατος,
κεχαριτωμένος,
καὶ ἀσκητὴς τῶν πάλαι αὐτοῦ ὁμοίων,
κατὰ πάντα ἰσότιμος.
Ὅθεν τὰ χείλη ὑμῶν,
ἐγκαρδίως κινοῦντες,
πρὸς εὐφημίαν αὐτοῦ,
συμφώνως λέγομεν.
Χαίροις καθηγητὰ τῆς ἡσυχίας,
καὶ φίλε τῆς κακοπαθείας,
καὶ ἐραστὰ τῆς νοερᾶς προσευχῆς.
Χαίροις θεοσκέπαστε ὅσιε,
ὁ πολλάκις δεχθεὶς ἐν νοῒ καὶ καρδίᾳ,
τοῦ Παρακλήτου Πνεύματος τὴν ἐνέργειαν.
Χαίροις τῶν διδασκάλων τῆς χάριτος,
ὁ πολλοὺς εἰσάξας,
εἰς τὰ τῆς εὐχῆς δώματα.
Καὶ νῦν τὴν ἁγίαν σου μνήμην ἄγοντες,
ἐν κατανύξει βοῶμεν,

πάτερ Ἰωσὴφ Ἀθωνῖτα,
μὴ ὀκνήσῃ φυλάττων,
τὸν ἱερόν σου τόπον,
ἐκ πολλῶν κακῶν ἀλλοιώσεων,
καὶ ταῖς σαῖς ἱκετηρίαις πρὸς Κύριον,
δώρησαι τοῖς μοναχοῖς τε καὶ κοσμικοῖς,
τῇ ψυχῇ τὰ πρόσφορα.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος β΄.

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα,
καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα,
καὶ πάσης κτίσεως τιμιωτέρα,
ἡ δι' ὑπερβάλλουσαν καθαρότητα,
τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη,
ἐν ταῖς τοῦ Υἱοῦ χερσί,
σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν,
καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς,
καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας
καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα
(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ

Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. 3,1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς,

καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ,
ὁ πολυάκουστος Ἄθως,
ὡς ξενίσας ἐν ταῖς ὀπαῖς καὶ σπηλαίοις σου,
πληθὺν ὁσίων Πατέρων,
καὶ ἐπ᾽ ἐσχάτων δέ,
Ἰωσὴφ τὸν Ἡσυχαστήν.
Οὗτος γὰρ ὁ πολυάρετος,
τὰ φθειρόμενα ἐν κόσμῳ καταλιπών,
πρὸς τὸ Ὄρος ἔδραμε,
τῆς ἁγνῆς Θεομήτορος,
καὶ ἀστράψας ὡς ἥλιος,
κατὰ τὸ τοῦ Σωτῆρος λόγιον,
πολλοὺς κατηύγασεν,
ἐν οἷς καὶ Ἐφραίμ,
τῆς Φιλοθέου μονῆς τὸν προεστῶτα.
Τανῦν σὺν τοῖς ἁγίοις συνδιαιτώμενος,
αἰτούμεθα πάντες συμφώνως,
ταῖς λιταῖς αὐτοῦ πρὸς τὸν Φιλάνθρωπον Δεσπότην,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἦχος β΄.

Ἔχων ἐν ἀκμῇ,
τὸ φίλτρον τῆς ἀγάπης πρὸς τὸν Χριστόν,
περιῆλθες ὡς τρυγὼν φιλέρημος,
τὰς καλύβας καὶ τὰ σπήλαια,
ὄρους τοῦ Ἄθωνος,
προσδοκῶν εὑρεῖν ἐν αὐταῖς,
πατέρας νυχθημερὸν ἐργαζομένους,

τὴν εὐχὴν τοῦ Ἰησοῦ.
Ἐν τέλει δὲ τὴν Δέσποιναν,
καὶ ἔφορον τοῦ τόπου,
μετὰ δακρύων καλῶν πρὸς βοήθειαν,
τὴν ἀπόγνωσιν ἐφυγάδευσας,
καὶ σταθηρῶς καθ᾽ ἑκάστην ἀγωνιζόμενος,
ἐν τῇ κορυφῇ τῆς θεώσεως ἀνῆλθες,
καὶ ἔγνωκας,
τὰ ὑπὲρ φύσιν μυστήρια,
δυσωπούμενος ἀπαύστως,
Ἰωσὴφ τὸν Δεσπότην,
ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Ἦχος γ΄.

Ὤφθης τοῦ νυκτιμόρφου ἐχθροῦ,
ὁ κατὰ μέτωπον ἐχθρὸς καὶ πολέμιος,
νικήσας τῆς διανοίας,
τοὺς πονηροὺς λογισμούς,
τὰς ψευδεῖς ὁράσεις,
ἀσθενείας πάσας,
πολυειδεῖς πειρασμούς,
συνασκητῶν ἀμφισβήτησιν,
μοναζόντων τὰ σκώμματα,
καὶ πολλὰ ἐνοχλήματα,
ὡς καὶ τὴν ἔλλειψιν,
ὑγιείας τοῦ σώματος.
Ὅθεν οὖν καὶ ἡμεῖς,
οἱ κατὰ πνεῦμα οἰκεῖοί σου,
ἀντιβολοῦμέν σε λέγοντες.
Πάτερ Ἰωσὴφ ἀξιάγαστε,
ταῖς ἐνεργείαις ταῖς σαῖς,
καὶ τῆς Κυρίας Θεοτόκου,
θαῤῥοῦμεν ἐλπίζοντες,
περιγενέσθαι τοῦ πλάνου,
καὶ τυχεῖν τοῦ Κυρίου τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Ἀοίδιμε Ἰωσὴφ Σπηλαιῶτα,
ὁ γεωργήσας τοῖς δάκρυσι,
τὰς ἐρήμους τοῦ Ἄθωνος,
ὡς γηπόνος θεοδίδακτος,
πάντας τοὺς ἀσκουμένους,
ἐν τῷ ἰδίῳ σου τόπῳ,
ὑποτακτικούς τε καὶ Γέροντας,
δοκίμους καὶ ῥασοφόρους,
μονάζοντας καὶ μιγάδας,
χάριτι πρεσβειῶν σου,
σοφῶς παιδαγώγησον,
βαστάσαι τὸ βάρος,
τῆς ἡμέρας καὶ καύσωνα,
πειρασμῶν καὶ τῶν θλίψεων,
νεῦσον δὲ ὁσιώτατε,
ταῖς θείαις εὐχαῖς σου,
ἐν ταῖς καρδίαις αὐτῶν,
ὑπερορᾶν τὰ παρόντα,
καὶ ἐφορᾶν πρὸς τὰ κρείττονα,
καὶ εὑρεῖν σωτηρίαν,
καὶ τοῦ Χριστοῦ Βασιλείαν,
καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος ὁ αὐτός.

Τὸν ἐν ἐσχάτοις τοῖς χρόνοις,
ἐν τῷ Ἁγίῳ Ὄρει,
περιφανῶς διαλάμψαντα ὅσιον,
Ἰωσὴφ τὸν σπηλαιώτην,
δεῦτε τῶν μοναζόντων χορεῖαι,
ὑμνολογήσωμεν.
Οὗτος γὰρ ὁ μακάριος,
τὸ παρὰ φύσιν ἀπέφυγε,
τὸ κατὰ φύσιν ἐκάθηρε,
καὶ τὸ ὑπὲρ φύσιν ἠγάπησε,
γενόμενος ὑπογραμμὸς καὶ τύπος,
πάντων τῶν μοναζόντων·

διὸ μιμούμενοι,
αὐτοῦ τὴν ἀναστροφήν,
τὸν ἔνθεον ζῆλον,
τὴν μετάνοιαν,
καὶ τὴν θεοφιλῆ τῆς εὐχῆς ἐργασίαν,
ἀξιωθῶμεν πρεσβείαις αὐτοῦ,
ζωῆς αἰωνίου.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος πλ. α΄.

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε·
σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς,
εἰς τὰς ἀχράντους παλάμας,
τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς παρατίθησιν,
ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως,
δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην,
καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον, Στιχηρὰ προσόμοια.

Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶς.

Χαίροις χειραγωγὲ Ἰωσήφ,
τῶν μοναζόντων ἐν τῷ ὄρει τοῦ Ἄθωνος,
ὁ πάντας τοὺς μαθητάς σου,
καθοδηγῶν ἀσφαλῶς,
τῷ σῷ βίῳ πρῶτον καὶ τοῖς λόγοις σου,
πρὸς πόλιν τὴν λάμπουσαν,
καὶ τρυφὴν τὴν ἀκήρατον,
τοῦ Παραδείσου,
τὰς μονὰς καὶ σκηνώματα,
ἃ αὐγάζονται,
ταῖς βολαῖς θείας χάριτος,
ὅσιε πολυθαύμαστε,
ἀγγέλων ὁμότιμε,
τῆς ἡσυχίας ὁ λύχνος,
καὶ τῶν συνόντων σοι στήριγμα,
Χριστὸν ἐκδυσώπει,

ταῖς ψυχαῖς ἡμῶν δοθῆναι,
τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου,
ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Πένης καὶ ῥακενδύτης φανείς,
ἐν ἐρημίαις,
καὶ ταῖς σκήταις τοῦ Ἄθωνος,
διῆγες τὸν βίον πάτερ,
τῆς ἐπιγείου ζωῆς,
ὡς πτωχὸς πλουτίζων,
τοὺς συνόντας σοι,
κατέχων γὰρ ὅσιε,
Ἰωσὴφ ὡς θησαύρισμα,
τὴν θείαν χάριν,
τοῖς ποθοῦσι μονάζουσι,
ταύτην δέδωκας,
ὡς ἀνὴρ διακρίσεως,
ὤφθης δὲ ἀξιάγαστε,
ὁ λύχνος ὁ πάμφωτος,
ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις,
φωταγωγῶν τὴν σκοτόμαιναν,
νοὸς ἐν τῷ ὄρει,
τῶν ἐλθόντων μαθητεῦσαι,
παρὰ τοὺς πόδας σου.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Βλέψον ἐξ οὐρανοῦ ἀσκητά,
ἐπὶ τὰ ἔκγονα τὰ σὰ ὡς φιλάνθρωπος,
καὶ ἴδε τὴν ποίμνην ταύτην,
τῆς Φιλοθέου Μονῆς,
καὶ ταῖς σαῖς πρεσβείαις διαφύλαξον,
ἀεὶ τοὺς οἰκήτορας,
ἐν αὐτῇ καὶ χορήγησον,
πᾶσιν εἰρήνην,
καὶ πλουσίαν τὴν χάριν σου,
σύ γὰρ ὅσιε,

ὡς διδάσκαλος ἄριστος,
ὄντως ἐπαιδαγώγησας,
Ἐφραὶμ τὸν ἡγούμενον,
καὶ εὐεργέτης τυγχάνεις,
τῆς μάνδρας ταύτης καὶ ἔφορος·
Χριστὸν ἐκδυσώπει,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι,
τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄.

Πεπλησμένος χάριτος,
τοῦ Παρακλήτου Πνεύματος,
ὡς ἐπιστήμων ἰατρός,
ἐθεράπευες πλήρως,
τὰ τῆς ψυχῆς νοσήματα,
τῶν οἰκείων σου τέκνων,
καὶ συνασκητῶν,
πάτερ Ἰωσήφ.
Ἔχων γὰρ τῆς προοράσεως,
τὸ μέγα χάρισμα,
τοὺς ματαίους λογισμούς,
τῆς σαρκὸς τὰ κινήματα,
τοῦ βελίαρ τὰ βδελυρὰ ἐννοήματα,
ἀκηδίας κατάστασιν,
καὶ ἅπαντα τὰ σκάνδαλα,
τῆς σωτηρίας αὐτῶν ἐθριάμβευσας,
ἐν ἀγάπῃ καὶ διακρίσει,
πρὸς σωτηρίαν αὐτῶν,
ὅσιε Γέρον πανθαύμαστε.
Ὅθεν πάντες σου οἱ ἐπίγονοι,
ἐπὶ σὲ θαῤῥοῦντες λέγομεν·
μὴ παύσῃ ἅγιε προστατεύων,
ἡμῶν τὸ κοινόβιον,
καὶ ἅπαντα τὸν Ἄθωνα,
ἐκ βλάβης τοῦ ἀντικειμένου,
καὶ πάσης κακώσεως.

Καὶ νῦν. Τῆς ῾Εορτῆς. Ἦχος δ΄.

Δαυϊτικὴν ᾠδὴν σήμερον λαοί,
ᾄσωμεν Χριστῷ τῷ Θεῷ.
Ἀπενεχθήσονται φησί,
τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς,
ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει.
Ἡ γάρ ἐκ σπέρματος Δαυΐδ,
δι' ἧς ἡμεῖς ἐθεώθημεν,
ἐν ταῖς χερσὶ τοῦ ἑαυτῆς Υἱοῦ καὶ Δεσπότου,
ἐνδόξως καὶ ὑπὲρ λόγον μετατίθεται,
ἣν ὡς Μητέρα Θεοῦ ἀνυμνοῦντες βοῶμεν καὶ λέγομεν˙
Σῶσον ἡμᾶς, τοὺς ὁμολογοῦντάς σε Θεοτόκε,
ἀπὸ πάσης περιστάσεως,
καὶ λύτρωσαι κινδύνων τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὰς καλύβας τοῦ Ἄθω,
καὶ τὰ σπήλαια ᾤκησας,
καὶ τῆς ἡσυχίας τὸ μέλι,
ὑπὲρ πάντα ἐτρύγησας˙
ζηλώσας γὰρ ἀρχαίους ἀσκητάς,
ἐκάθηρας εὐχῇ τοῦ Ἰησοῦ,
τὴν καρδίαν καὶ τὸν νοῦν σου ἐκ τῶν παθῶν,
καὶ ἀνεδείχθης πρότυπον,
πᾶσι τοῖς ἐν τῷ ὄρει μοναστaῖς,
πᾶσι τοῖς κατὰ πνεῦμα τέκνοις σου,
πᾶσι τοῖς ἀνυμνοῦσιν Ἰωσήφ,
μάκαρ τὴν μνήμην σου.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ´. Ταχὺ προκατάλαβε.

Γεραίρει τὴν μνήμην σου,
ἡ Φιλοθέου Μονή,
ὡς σχοῦσα διδάσκαλον,
τὸν μαθητήν σου ποτέ,
Ἐφραὶμ τὸν πανόσιον,
σὺ γὰρ ἐν ὄρει Ἄθω,
ὥσπερ ἄσαρκος ζήσας,
γέγονας ποδηγέτης,
Ἰωσὴφ μοναζόντων,
διὸ καὶ ἐπευφημοῦμεν,
τὰ σὰ κατορθώματα.

Θεοτοκίον ὅμοιον. Τῆς Ἑορτῆς.

Παρέστης ὡς ἄνασσα,
ἐκ δεξιῶν τοῦ Χριστοῦ,
πρεσβεύουσα πάντοτε,
ὑπὲρ τῶν δούλων τῶν σῶν,
μετὰ τὴν σὴν κοίμησιν,
σὺ γὰρ Παρθένε ὤφθης,
κοσμοσώτειρα ὄντως,
λύσας ἐκ τῆς κατάρας,
τὸ ἀνθρώπινον γένος,
παρέχουσα τὴν εἰρήνην,
ψυχῆς καὶ τὴν ἄνεσιν.

Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.

Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον,
ἡ Ἐκκλησία,
Ἰωσὴφ τὴν μνήμην σου,
καὶ ἐξαιτεῖται πρὸς Θεόν,
τὴν σὴν πρεσβείαν πανεύφημε,
ὑπὲρ ἡμῶν τῶν ἐν ὄρει οἰκείων σου.

Θεοτοκίον τῆς Ἑορτῆς.

Τὴν ἐκ γῆς σου ἄνοδον,
Παρθενομῆτορ,
τῶν ἀΰλων τάγματα,
ὑπερεθαύμασαν ἁγνή,
πῶς ὁ Υἱὸς σου καὶ Κύριος,
χερσὶ βαστάζει,
ψυχήν σου τὴν πάμφωτον.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἦχος γ´. Θείας πίστεως.

Χαίρει ἔχουσα,
ἡ Ἀριζόνα,
ὡς πολύτιμον χρυσὸν καὶ ὄλβον,
τὴν μυροβλύζουσαν κάραν σου χάριτας,
καὶ τὰ ὀστέα σου πάντα τὰ ἅγια,
ἐν ταῖς τοῦ Ἄθω μοναῖς προσπορίζουσι,
πᾶσι νάματα,
ψυχῆς Ἰωσὴφ καὶ σώματος,
ὡς σκεύη Παρακλήτου παναοίδιμε.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον. Τῆς ἑορτῆς.

Ὡς παγκόσμιος Παρθένε Μήτηρ,
εἰσελήλυθας ἐν Παραδείσῳ,

ἐν δεξιοῖς καθημένη τοῦ τόκου σου,
ἵνα πρεσβεύῃς ἀεὶ ὡς μεσίτρια,
ὑπὲρ ἡμῶν τῶν οἰκείων καὶ δούλων σου,
Ἀειπάρθενε,
ἡμῶν τῶν πιστῶν παραμύθιον,
καὶ πάντων τῶν ἀνθρώπων τὸ μελώδημα.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου,
καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

## ΕΥΑΓΓΕΛΙΟΝ
(Λουκ. στ΄ 17 - 23)

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ἐνοχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτουν ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε, Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ.β΄.
Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Τὰς κακουργίας τοῦ Ἐχθροῦ,
τὰ μηχανήματα αὐτοῦ καὶ πανουργεύματα,
τῇ ἀτυφίᾳ τοῦ νοός,
καὶ τῇ εὐχῇ τοῦ Ἰησοῦ διασκεδάσας,
εἴληφας Ἰωσὴφ θεοστήρικτε,
τὰ ἀγαθὰ Αὐτοῦ,
τὰ πλούσια καὶ αἰώνια,
καὶ ὡς πάλαι ὁ ὁμώνυμός σου,
ἐδίδους τοῖς μαθηταῖς σου·
διὸ καθικέτευε τῷ Δεσπότῃ,
τυχεῖν καὶ ἡμᾶς,
τῆς σῆς μακαριότητος.

Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Εἶτα οἱ Κανόνες τῆς Ἑορτῆς καὶ τοῦ Ὁσίου.

Κανὼν πρῶτος τοῦ Ὁσίου οὗ ἡ ἀκροστιχίς·
*Ὅσιε πάτερ Ἰωσὴφ δός μοι βοήθειαν. Ἰωήλ.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ὁσίων θησαύρισμα,
Ἁγίου Ὄρους καλλώπισμα,
ἐδείχθης τοῖς τρόποις σου,
καὶ ταῖς ἀσκήσεσι·
διὸ ἅγιε,
ὦ Ἰωσήφ, παράσχου,
τὴν χάριν σου ἄφθονον,
τοῦ ἀνυμνῆσαί σε.

Συντρίψας τὰ πάθη σου,
τῇ συνδρομῇ τῆς Θεότητος,
ζητήσας τὰ μόνιμα,
καὶ τὰ αἰώνια,
ὡς ὁμόηθος,
τῶν παλαιῶν Πατέρων,
κατέλαβες ὅσιε,
ὅρος θεώσεως.

Ἰθύνεις τοὺς πόδας σου,
ἐν ἐρημίαις τοῦ Ἄθωνος,
καὶ ᾤκησας σπήλαια,
ὡς ὄντως ἄσαρκος,
διαιτώμενος,
λιτῶς ἐν ἐγκρατείᾳ,
διὸ τοῖς μονάζουσι,
κανὼν γεγένησαι.

Θεοτοκίον

Ἐν μήτρᾳ ἐβάστασας,
τὸν ποιητὴν πάσης κτίσεως,
τὸν πάθει λυτρώσαντα,
ἡμᾶς Πανάχραντε,
ὡς φιλάνθρωπον,
ἀρχαίας καταδίκης,
Ἀδὰμ τοῦ Προπάτορος,
τοῦ ἁμαρτήσαντος.

Κανὼν τοῦ Ὁσίου δεύτερος, οὗ ἡ Ἀκροστιχίς·
*Ἰωσὴφ Σπηλαιώτου τὸν ὕμνον ἐξάδω. Ἰωήλ.*

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.

Ἱκέσιον ὕμνον πρὸς τὸν Χριστόν,
ἔχων διὰ βίου,
Σπηλαιῶτα τὸν σκοτασμόν,

νοὸς Ἰωσὴφ διασκεδάζεις,
ταῖς ἐπιλάμψεσι πάτερ τοῦ Πνεύματος.

Ὡς μύστης πανάριστος τῆς εὐχῆς,
σοφῶς ἐκδιδάσκεις,
τοὺς συνόντας σοι ἀκριβῶς·
σὺ γὰρ διὰ ταύτην ἐν σπηλαίοις,
ἐν ἐρημίαις τοῦ Ἄθωνος ᾤκησας.

Σοφῶς ὥσπερ ἄγγελος ἐπὶ γῆς,
ἐν ὄρει ἁγίῳ,
ἀνεζήτεις τὸν γλυκασμόν,
σεμνὲ Ἰωσὴφ τῆς ἡσυχίας,
σὺν Ἀρσενίῳ ἀνδρὶ τῷ ὁμόφρονι.

Θεοτοκίον

Ἡδέως οἱ δοῦλοί σου Μαριάμ,
τὸν τόκον σου πάντες,
τὸν Θεάνθρωπον Ἰησοῦν,
λατρεύουσι Μῆτερ καὶ τιμῶσι,
σὲ τὴν μητέρα αὐτοῦ τὴν ἀπείρανδρον.

ᾨδὴ γ΄. Κανὼν πρῶτος. Τοὺς σοὺς ὑμνολόγους.

Προκόψας ἀσκήσει σκληροτάτῃ,
ὑπέστης πληθὺν τῶν πειρασμῶν,
ἀλλὰ τῇ θείᾳ χάριτι,
τούτους σφοδρῶς κατέβαλες,
ὦ Ἰωσὴφ τρισόλβιε,
Πατέρων πάλαι συνέχεια.

Ἀφάτῳ ἀγῶνί σου παμμάκαρ,
ἐδέχθης ὡς σκεῦος ἐκλεκτόν,
ἐπίσκεψιν τῆς χάριτος,
τοῦ Παναγίου Πνεύματος,
τοῦ πτερνοσκόπου δράκοντος,
καταβαλὼν τὰ πειράγματα.

Τὰς νόσους τοῦ σώματος νομίζων,
αἰτίας ζωῆς κατὰ Χριστόν,
ἀσμένως ἐν καρδίᾳ σου,
ἐδέχθης ταύτας ὅσιε·
διὸ καὶ ὤφθης Ἅγιε,
σεπτῶν Πατέρων ἐφάμιλλος.

Θεοτοκίον

Ἰάτειρα γέγονας σῷ τόκῳ,
ἰάσασα Μῆτερ τοὺς βροτούς,
ἐκ βλάβης τοῦ ἀλάστορος,
διὸ καὶ κόσμου σώτειρα,
ἐγένου Ἀειπάρθενε,
Χριστιανῶν παραμύθιον.

Κανὼν δεύτερος. Σὺ εἶ τὸ στερέωμα.

Φενάκην τὰ ῥέοντα,
καὶ τὰ ἐπίκηρα Ὅσιε,
καὶ κοσμικά,
ἀγαθὰ ἡγήσω,
Ἰωσὴφ καὶ δοξάριον.

Σοφίαν τὴν ἄνωθεν,
καὶ ἀποῤῥήτων τὴν μύησιν,
τὴν θεϊκήν,
Ἰωσὴφ ἐζήτεις,
ἐν σπηλαίοις τοῦ Ἄθωνος.

Πανεύφημε ὅσιε,
ἡ Φιλοθέου σεμνύνεται,
τῶν σῶν ὀστῶν,
τὰς μερίδας σχοῦσα,
Ἰωσὴφ ἀξιάγαστε.

Θεοτοκίον

Ἡ ἔνδοξος ἄνοδος,
είς ούρανοὺς ἀπειρόγαμε,
σοῦ τῆς ἀγνῆς,
τοῖς ἀΰλοις νόοις,
θυμηδίαν προὐξένησε.

Κάθισμα.
Ἦχος πλ.α΄. Τὸν Συνάναρχον Λόγον.

Ἰωσὴφ ἡ σὴ μήτηρ,
ἐν τῇ γεννήσει σου,
τὴν σὴν πορείαν κατεῖδεν ἐν τῷ ὁράματι,
ὅτι μέλλεις τῷ Χριστῷ,
ὅλως δοθήσεσθαι,
ὅθεν πρωΐμως μεταβάς,
ἐν τῷ Ἄθωνι σεμνέ,
ἀνῖσχες πνευματοφόρε,
ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις,
καθάπερ ἥλιος ὑπέρλαμπρος.

Θεοτοκίον ὅμοιον. Τῆς Ἑορτῆς.

Ἡ ἁγία σου Μήτηρ,
Δέσποτα Κύριε,
ἐν ταῖς Μοναῖς σου παρέστη δεξιοκάθεδρος,
ὥσπερ πρέσβειρα ἡμῶν,
πρὸς σὲ Φιλάνθρωπε,
ἁμαρτάδων τῶν πιστῶν,
ἐσαεὶ ὡς Ἀγαθή,
τὴν λύσιν ἐξαιτουμένη,
τῶν ἀῤῥωστούντων τὸ ἄκος,
καὶ συνειδότος τὴν εἰρήνευσιν.

ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξει.

Ῥυπαρῶν ἐννοημάτων,
ἐβδελύξω ἐνέργειαν,

τὴν ψυχὴν καθάρας,
Πάτερ Ἰωσὴφ τοῖς δακρύοις σου,
καὶ ἀτυφίᾳ νοός,
ἀξιοτίμητε,
ὥσπερ ἄσαρκος,
ἐν ἐρημίαις πλανώμενος.

Ἱκετεύεις τὴν Παρθένον,
καὶ Κυρίαν τοῦ Ἄθωνος,
ὅπως εὕρῃς πάτερ,
ὄντως ποδηγὸν διὰ κρείτονα,
σὺν Ἀρσενίῳ ἀκόπως διερχόμενος,
τὰ καλύβια,
ἀνδρῶν ὁσίων Θεότιμε.

Ὡς στρουθίον ἐκατῴκεις,
Ἰωσὴφ ἀξιάγαστε,
ἐν ὀπαῖς τοῦ Ὄρους,
ἔχων ἐν καρδίᾳ καὶ χείλεσι,
τῆς ἱκεσίας εὐχὴν τὴν ζωοπάροχον
διὸ ἠΰγασας,
τῶν μοναστῶν τὰ συστήματα.

Θεοτοκίον

Συλλαβοῦσα ἐν γαστρί σου,
τὸν πολύτιμον μάργαρον,
τοὺς πιστοὺς πλουτίζεις,
πάντας τοὺς λατρεύοντας Πάναγνε,
τὸν σὸν Υἱὸν Θεοτόκε τὸν πτωχεύσαντα,
καὶ φιλάνθρωπον,
δημιουργὸν πάσης κτίσεως.

Κανὼν δεύτερος.
Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Λαμπηδὼν ἡ ἀείφωτος,
διδαχῶν ἡ βίβλος σου ὤφθη ὅσιε,

Ἰωσὴφ καταλαμπρύνουσα,
τῶν σοὶ σπουδαζόντων τὴν σκοτόμαιναν.

Ἀποστὰς τῇ θελήσει σου,
Ἰωσὴφ ἐκ πάσης μερίμνης ὅσιε,
τῇ εὐχῇ θεοχαρίτωτε,
ἐπεδόθης ὅλως ὡς οἱ Ἄγγελοι.

Ἰατρείας τὴν δύναμιν,
διδαχαί σου ἔχουσαι τὰ οἰδήματα,
τῆς ψυχῆς τὰ δυσθεράπευτα,
Ἰωσὴφ παμμάκαρ θεραπεύουσι.

Θεοτοκίον

Ὡσεὶ τεῖχος ἀπόρθητον,
αἱ εὐχαί σου Μῆτερ καὶ αἱ πρεσβεῖαί σου,
μηχανὰς τοῦ κοσμοκράτορος,
ἀποκρούουσιν εὐστόχως Ἀειπάρθενε.

ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

῾Ησύχως τὸν βίον σου,
ὡς πάλαι οἱ πατέρες σου,
ὅσιε διέβης καὶ ἐκτήσω,
τὸν νοῦν ἑστῶτα πρὸς τὰ ἀκίνητα,
πάτερ Ἰωσὴφ Ἀθωνιτῶν,
πρότυπον πρὸς μίμησιν,
καὶ κανὼν ἁγιότητος.

Φῶς ἄκτιστον ὅσιε,
τοῖς ὀφθαλμοῖς ἑώρακας,
ἐν τῇ προσευχῇ σου καὶ ἐγένου,
ἀμνήμων πάντων τῶν καταστάσεων,
πάτερ τῶν γηΐνων ὡς ποτέ,
Παῦλος ὁ Ἀπόστολος,
θεωθεὶς ὅλως χάριτι.

Δοκίμως ἐδίδαξας,
τοὺς μαθητάς σου ὅσιε,
τὴν εὐχὴν τὴν ὄντως ζωηφόρον,
ἐν τῇ καρδίᾳ καὶ ἐν τοῖς χείλεσι,
λέγειν Ἰωσὴφ διηνεκῶς,
ὡς ἐν σοὶ γεγένηται,
ἐν σπηλαίοις τοῦ Ἄθωνος.

Θεοτοκίον

Ὁ τόκος σου Δέσποινα,
Χριστὸς ὁ παντευλόγητος,
γέγονεν ἐκ νέου βροτοπλάστης,
ἀποκαθάρας τὴν κτίσιν ἅπασαν,
αἵματι αὐτοῦ τῷ ζωηρῷ,
γενόμενος ἄνθρωπος,
δανεισθεὶς τὸ σὸν φύραμα.

Κανὼν δεύτερος. Φώτισον ἡμᾶς.

Τέτοκας πληθύν,
μαθητῶν τῇ εὐσεβείᾳ σου,
τὸν Ἐφραὶμ τὸν Ἰωσὴφ καὶ τοὺς λοιπούς,
Χαραλάμπην καὶ Ἀρσένιον φιλότεκνε.

Ὄρους Ἰωσήφ,
καὶ ἐρήμου ἄνθος γέγονας,
Νέας Σκήτης ἀσκητὴς περιφανής,
καὶ Μονῶν τῶν εὐαγῶν τὸ σεμνολόγημα.

Ὕψωσον σεμνέ,
πρὸς Χριστὸν τὰς δύο χεῖράς σου,
ὑπὲρ πάντων τὴν σὴν μνήμην εὐλαβῶς,
Ἰωσὴφ ἐπιτελούντων τὴν γηθόσυνον.

Θεοτοκίον

Ταῖς λιταῖς ἁγνή,
Παναγία καὶ τοῦ δούλου σου,

Ἰωσὴφ τοῦ Σπηλαιώτου πρὸς Χριστόν,
δυσωπείαις ἡμᾶς πάντας διαφύλαξον.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Στεῤῥῶς διώδευσας τὸν δίαυλον,
εὐχῆς τοῦ Ἰησοῦ καὶ ἐδίδαξας,
τὴν συνοδείαν σου,
αὐτῆς διδάχος γενόμενος,
ἐν χρόνοις τοῖς ἐσχάτοις,
ἐν ὄρει Ἄθωνι.

Μαρτύρων ἔδειξας θέλησιν,
ἀσκήσει Ἰωσὴφ τῇ συντόνῳ σου,
ἐν ψύχει ὅσιε,
καὶ ἐγκρατείᾳ τοῦ σώματος,
ἐλλείψει ἀναγκαίων,
τροφῶν καὶ ὕδατος.

Ὁ ὅρπηξ ὤφθης τῆς χάριτος,
καὶ νάρδος ἡσυχίας πανεύφημε,
καὶ ῥόδον εὔοσμον,
τῶν προσευχῶν καὶ δεήσεων,
ὑψίκομον δὲ δένδρον,
τῆς διακρίσεως.

Θεοτοκίον

Ἱκέτης ὢν καὶ πανάθλιος,
τῇ θείᾳ σου εἰκόνι προσεύχομαι,
σεμνὴ Παντάνασσα,
ἵνα ῥυσθῶ τῆς κολάσεως,
καὶ πάντων τῶν βασάνων,
τοῦ πολεμήτορος.

Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Ὀλέτειρα Ἰωσήφ,
ἄχρι τοῦ τέλους τοῦ βίου σου,

θεόφρον κατὰ παθῶν,
νηστείας ἡ τήρησις·
διὸ καὶ γεγένησαι,
ἐν τῇ συνοδείᾳ,
μαθητῶν ἡ ὑποτύπωσις.

Νενίκηκας τοῦ νοός,
σημειοφόρε τὴν ἔπαρσιν,
ἐννοίας καταβαλών,
ψευδοῦς ἁγιότητος,
σὺ γὰρ κατηδάφισας,
ἀτυφίᾳ πάτερ,
τὰ κενόδοξα θελήματα.
Ὑψώθης εἰς κορυφήν,
τῆς μακαρίας θεώσεως,
καὶ μύστης τῶν θαυμαστῶν,
ἐπόπτης γενόμενος,
σεμνὴν συνοδείαν σου,
ἐν τῷ ὄρει μάκαρ,
ἀσφαλῶς ἐποδηγέτησας,

Θεοτοκίον

Ἀνέβης εἰς οὐρανούς,
Θεογεννήτρια Πάναγνε,
ὑψοῦσα πρὸς τὸν Χριστόν,
τὰς χεῖράς σου πάντοτε,
ὑπὲρ τῶν αἰτούντων σου,
ἁγνὴ θείαν χάριν,
τὴν βοήθειαν καὶ δύναμιν.

Κοντάκιον
Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ.

Τῆς Νήσου Πάρου τὸν βλαστὸν τὸν εὐθαλέστατον,
καὶ Μοναζόντων ἐν τῷ Ἄθῳ τὸν διδάσκαλον,
Ἰωσὴφ ἐγκωμιάσωμεν ἐγκαρδίως,

ἐν σπηλαίοις γὰρ βιώσας προσευχόμενος,
ἀνελήλυθεν εἰς ὄρος ἁγιότητος,
διὸ λέγομεν·
χαίροις πάτερ ἰσάγγελε.

Ὁ Οἶκος.

Ἄγγελος ἐν τοῖς τρόποις,
τοῖς ἀνθρώποις ἐφάνης,
βιώσας Ἰωσὴφ ἐν σπηλαίοις,
ἐκ παιδὸς γὰρ ἡλικίας σεμνέ,
ὡς οἱ πάλαι Πατέρες εὐχαῖς ἤστραψας·
διὸ σοι ἀναμέλπομεν,
βοῶντες ἐγαρδίως ταῦτα.

Χαῖρε συνέμπορε ἡσυχίας·
χαῖρε ὁ σύζυγος ἐγκρατείας.
Χαῖρε τῆς ἐρήμου τοῦ Ἄθωνος κλέϊσμα·
χαῖρε τῶν ὁσίων Πατέρων τὸ μίμημα.
Χαῖρε ἄνερ εὐσεβέστατε μοναζόντων στολισμός·
χαῖρε κῦδος τὸ σεμνότατον τῶν Μονῶν καὶ τῶν σκητῶν.
Χαῖρε ὁ ἀγαπήσας τῆς εὐχῆς ἐργασίαν·
χαῖρε ὁ ἀποῤῥίψας τῶν παθῶν τήν δουλείαν.
Χαῖρε Χριστοῦ τὸ θρέμμα τὸ ἅγιον·
χαῖρε χαρίτων σκεῦος τὸ πάγχρυσον.
Χαῖρε πολλῶν μοναστῶν ποδηγέτης·
χαῖρε κακῶν λογισμῶν ἀναιρέτης.

Χαίροις πάτερ ἰσάγγελε.

Συναξάριον

Τῇ δεκάτῃ ἕκτῃ τοῦ Μηνὸς Αὐγούστου μνείαν ποιούμεθα τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ἡσυχαστοῦ καὶ Σπηλαιώτου τοῦ ἐν Ἄθωνι θεοφιλῶς τελευτήσαντος ἐν ἔτει χιλιοστῷ ἐνακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ(1959).

Στίχοι

*Ἰωσὴφ τῆς ἐρήμου Ἄθωνος κλέος,*
*ταῖς εὐχαῖς στήριξον τοὺς σὲ ἀνυμνοῦντας.*

Οὗτος ὁ μακάριος ἀνὴρ ἐγεννήθη ἐν τῇ νήσῳ Πάρῳ κατὰ τὸ ἔτος χιλιοστῷ ὀκτακοσιοσῷ ἐνενηκοστῷ ἑβδόμῳ(1897). Ἐκ τῆς νεανικῆς αὐτοῦ ἡλικίας εἰσῆλθεν εἰς τὸν Ἄθωνα περιερχόμενος τὰς ἐρήμους καὶ ἐγκαταβιῶν ἐν καλύβαις καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. φθάσας ἐν τῇ κορυφῇ τῶν ἀρετῶν καὶ πολλοὺς κτήσας μαθητὰς καὶ χρηματίσας διδάσκαλος αὐτοῖς τῆς ζωηφόρου εὐχῆς τοῦ Ἰησοῦ εἰρηνικῶς καὶ ἀσκητικῶς τὸ ζῆν ἐξεμέτρησε κατὰ τὸ προμνημονευθὲν ἔτος.

Τὰ λοιπὰ ἐκ τοῦ Μηναίου.

Ταῖς τῶν ἁγίων σου Χριστὲ πρεσβείαις,
ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Βίαν ἔνθεον,
κατὰ παθῶν ἐπέδειξας,
πάτερ καὶ ἤλασας,
εἰς μέτρον ὄντως λαμπρόν,
νικήσας τὰ πάθη σου,
καὶ πολεμήτορος,
τὰ πειράγματα,
θεόφρον διεσκέδασας,
Ἰωσὴφ τῇ ταπεινώσει.

Ὅλως ὅσιε,
τῷ σῷ Κυρίῳ δέδωκας,
σαυτὸν μακάριε,
καὶ τὸν ἑσμὸν γεηρῶν,
ἀπέρριψας τάχιστα,
θεοφορούμενε,

καὶ παράκλησιν,
τοῦ Παναγίου Πνεύματος,
ἐπεζήτησας ἐμφρόνως.

Ἡ χορεία σου,
τῶν μαθητῶν πανόσιε,
τιμᾷ τὴν μνήμην σου,
καὶ ἑορτήν σου σεπτέ,
καὶ μέλπουσιν ᾄσματα,
ὑμνοῦντες βίον σου,
καὶ τὰς χάριτας,
καὶ τὰ πολλὰ σημεῖά σου,
Ἰωσὴφ αὐτῶν προστάτα.

Θεοτοκίον

Θεονύμφευτε
ταῖς σαῖς πρεβείαις στήριξον,
ὡς σχοῦσα δύναμιν,
ἡμῶν πατρίδα ἁγνή,
πολλοὶ γὰρ πολέμιοι,
ταύτην ἐκύκλωσαν,
καὶ κατάκοψον,
ὡς στρατηγὸς ὑπέρμαχος,
μένος τούτων καὶ τὸ θράσος.

Κανὼν δεύτερος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νηστείαν ἕως γήρους,
καὶ ὁμοῦ ἀγρυπνίαν,
πάτερ ἐτήρησας,
ἐκ πάντων δὲ ἡδέων,
τῶν ἐφαμάρτων κόσμου,
Ἰωσὴφ θεοδίδακτε,
ἀπεῖχες ὄντως στεῤῥῶς,
διό σε ἐπαινοῦμεν.

Ὁλοκαρδίως Πάτερ,
τὸν Χριστὸν παρεκάλεις,
ὕπνον πολύωρον,
καὶ πάσας τὰς ἀνέσεις,
σαρκὸς τῆς πολυμόχθου,
καταργῆσαι πανεύφημε,
καὶ δοῦναι ἐσαεί,
σκληραγωγίαν πᾶσαν.

Νοσήσας ἐν τῷ τέλει,
τοῦ ἐπιγείου βίου,
πάτερ τρισόλβιε,
καὶ ἔχων σὺν τοῖς ἄλλοις,
χαρίσμασι καὶ τοῦτο,
τῆς προγνώσεως ἅγιε,
κοιμήσεως τῆς σῆς,
ἐδήλωσας τὸν χρόνον.

Θεοτοκίον

Ἐν σοὶ Θεογεννῆτορ,
Ἰωσὴφ ἐστηρίχθη,
καὶ διεσκέδασε,
τῶν πειρασμῶν τὸ πλῆθος,
τοῦ ἀντικειμένου,
καὶ δεινοῦ πολεμήτορος,
καὶ χλευασμοὺς τοὺς πικρούς,
συνασκητῶν ἐν Ἄθῳ.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἔτρεχες εὑρεῖν σὺν Ἀρσενίῳ,
ἐν ὄρεσι καὶ σπηλαίοις τὸν διδάσκαλον,
τῆς εὐχῆς πανεύφημε,
Ἰωσὴφ καὶ ἔμελπες,
ἀπὸ καρδίας ὅσιε,
τῶν παίδων μέλισμα,
τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα,

καὶ ὑπερυψοῦτε,
εἰς πάντας τοὺς αἰῶνας.

Ἴθυνας χορὸν τῶν μαθητῶν σου,
Ἐφραὶμ καὶ τὸν Χαραλάμπην τὸν ὑπήκοον,
᾿Ιωσὴφ τὸν Κύπριον,
καὶ τὸν Ἀθανάσιον,
τὸν συγγενῆ σου ὅσιε,
σεμνὸν Ἀρσένιον,
καὶ ἄλλους φιλοθέους πατέρας,
δίαυλον βαδίσαι,
εὐχῆς τῆς ζωηφόρου.

Ἄνωθεν ῥωσθεὶς θείᾳ δυνάμει,
ὡς σκύβαλα ἐλογίσω τὰ ἐπίγεια,
ἔχων τὴν αὐτάρκειαν,
τῶν ὀλίγων ὅσιε,
καὶ πρακτικῶς ἐφήρμοσας,
λόγον τὸν παύλειον,
τὸν ἄρτον καὶ σκεπάσματα πάτερ,
σχόντες μὴ ζητῶμεν,
σαρκὸς τὰς ἀπαιτήσεις.

Θεοτοκίον

Νέμεις φιλανθρώπως τοῖς ἀνθρώποις,
χαρίτων σου τὴν πληθὺν Θεοχαρίτωτε,
ἰατρείαν σώματος,
τῆς ψυχῆς εἰρήνευσιν,
τῶν φοβιῶν ἀπέλασιν,
νοὸς τὴν κάθαρσιν,
καὶ πάσης ἀῤῥωστίας τὸ ἄκος,
ἔχεις γὰρ μεγίστην,
τὴν δύναμιν Παρθένε.

Κανὼν δεύτερος. Τὸν Βασιλέα.

Ξενίσας πάτερ,
τὴν ζωοπάροχον χάριν,
Ἰησοῦ ἐν τῇ καρδίᾳ σου προλέγεις,
Ἰωσὴφ τρισμάκαρ,
τὴν ἔκβασιν συμβάντων.

Ἀπὸ κινδύνων,
τοῦ ἀρχεκάκου βελίαρ,
διαφύλαξον μονὴν τοῦ Φιλοθέου,
τὴν τιμῶσαν πάτερ,
τὴν μνήμην σου ἐν ὕμνοις.

Δὸς τὴν σὴν χάριν,
τοῖς προσκυνοῦσιν εἰκόνα,
καὶ ὀστᾶ σου Ἰωσὴφ τὰ μυροφόρα,
καὶ ἁγίαν κάραν,
τὴν οὖσαν ἐν τῇ ξένῃ.

Θεοτοκίον

Ὠθοῦμαι Μῆτερ,
ἐκ τῶν πολλῶν σου θαυμάτων,
ἀνυμνῆσαι Θεοτόκε τὴν σὴν χάριν,
βρύεις γὰρ ὡς βρύσις,
πολύκρουνος ἰάσεις.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴαμα τρανόν,
τῶν νόσων σου εὗρηκας,
τὴν Θεομήτορα,
ἣν καὶ καθικέτευες,
μετὰ δακρύων καὶ θρήνων ὅσιε,
ὅπως σαρκὸς τὰ τραύματα τὰ πρὸς τὸν θάνατον,
θεραπεύσῃ,
σὺ γὰρ εἶ ἰάτειρα,
Θεοτόκε κραυγάζων ἡ ἄμισθος.

Ὥσπερ Θησαυρόν,
ἐν γήρει εἰκόνισμα τῆς κοσμοσώτειρας,
Ἰωσὴφ Τρισόλβιε,
ἐν ταῖς ἀγκάλαις ἐκράτεις ὅσιε,
καὶ παρεκάλεις ἔνδακρυς,
βοῶν τὰ ῥήματα,
Δέσποινά μου,
μὴ ἐγκαταλείπῃς με,
ἀλλὰ δός μοι ταχὺ τὰ κατάλληλα.

Ἤρθης ἀπὸ γῆς,
πρὸς ἄνω σκηνώματα,
τοῦ Παντοκράτορος,
κοιμηθεὶς ὡς ἄγγελος,
ἐν τῇ ἡμέρᾳ τῆς Μεταστάσεως,
τῆς ταπεινῆς θεόπαιδος,
καὶ θεομήτορος,
μεθ᾽ ἧς πάτερ,
Ἰωσὴφ μὴ παύσητε,
ὑπὲρ πάντων Χριστὸν ἱκετεύοντες.

Λύεις τὴν ἀράν,
τῆς Εὔας τῷ τόκῳ σου,
Θεογεννήτρια,
καὶ τοῦ κοσμοκράτορος,
ἀρχαίου ὄφεως δολιότητα,
καὶ κακουργίαν Δέσποινα,
καὶ τὴν ἀναίδειαν,
διαλύεις,
καὶ τὸν ᾅδην ἔπαυσας,
Τοῦ Υἱοῦ σου σταυρῷ Κοσμολύτρια.

Κανὼν δεύτερος. Κυρίως Θεοτόκον.

Ἰδεῖν ὡς οἱ μεγάλοι,
ἀσκηταὶ τὸ φάος,

τὸ νοερὸν Ἰωσὴφ ἀξιάγαστε,
ἡσυχαστής ἐν σπηλαίοις,
τοῦ Ἄθω γέγονας.

Ὡς στήριγμα καὶ βάσιν,
ἡ τοῦ Φιλοθέου,
ἀναγνωρίζει σε πάτερ καὶ γάνυται,
ἐπὶ τῇ θείᾳ σου μνήμῃ,
γέρον φιλόθεε.

Ἡδέως ἡ τοῦ Ἄθω,
πολιτεία μέλπει,
τὴν βιοτὴν Ἰωσὴφ καὶ σημεῖά σου,
τὰ ἐν ζωῇ θεοφόρε,
καὶ μετὰ θάνατον.

Θεοτοκίον

Λατρεύει τὸν Υἱόν σου,
Ἐκκλησία πᾶσα,
καὶ σὲ τιμᾷ Θεοτόκε ὡς τέξασαν,
τῆς Οἰκουμένης σωτῆρα,
Ἀειμακάριστε.

Ἐξαποστειλάριον.
Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Μονάζοντες καὶ Μιγάδες,
Ἁγίου Ὄρους Πατέρες,
συναθροισθέντες ἐν Ἄθῳ,
τοῦ Ἰωσὴφ Σπηλαιώτου,
τὴν θείαν μνήμην ἐν ὕμνοις,
τιμήσωμεν γεγηθότες.

Ἕτερον ὅμοιον.

Ἐν ταῖς ὀπαῖς καὶ σπηλαίοις,
ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις,
ὡς κυκλευτὴς θεοφόρος,

βιώσας πάτερ ἀνῖσχες,
ὡς ἄστρον πάντας αὐγάζον,
ὦ Ἰωσὴφ Χριστοφόρε.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἀπόστολοι ἐκ Περάτων,
συναθροισθέντες ἐνθάδε,
Γεσθημανῆ τῷ χωρίῳ,
κηδεύσατέ μου τὸ σῶμα,
καὶ σὺ Υἱὲ καὶ Θεέ μου,
παραλαβέ μου τὸ Πνεῦμα.

Εἰς τοὺς Αἴνους.
Ἱστῶμεν στίχους δ΄καὶ ψάλλομεν
τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἰωσὴφ μακάριε,
τῆς νήσου Νάξου βλαστός,
καὶ τοῦ Ἄθωνος κλέϊσμα,
ἐν ἐρήμοις ἔτρεχες,
βιωτεύσας ὡς ἄσαρκος,
καὶ ἐν καλύβαις σοφὲ σιτούμενος,
ἐν δὲ σπηλαίοις πυκνῶς εὐχόμενος,
ὅλως ἐκάθηρας,
τοῦ νοὸς ἀμαύρωσιν,
καὶ τῆς σαρκός,
ἀνδρικῶς κατέστειλας,
τῶν παθῶν τὴν ἐξέργεσιν.

Πάτερ Ἰωσὴφ θεόληπτε,
τὴν ζωηφόρον εὐχήν,
τοῦ Κυρίου ἠγάπησας,
ἀνακράζων τοῖς χείλεσι,
καὶ καρδίᾳ σου σῶσόν με,
Χριστὲ Σωτήρ μου ὡς παντοδύναμος,

καὶ φώτισόν μου τὸν νοῦν φιλάνθρωπε.
Ὢ τῆς σῆς χάριτος,
Ἀθωνῖτα ὅσιε,
ὅτι ῥητήρ,
προσευχῆς γεγένησαι,
τοῖς προσιοῦσί σε.

Πάτερ Ἰωσὴφ γεγένησαι,
τῇ βιοτῇ σου σεμνέ,
καὶ τοῖς λόγοις σου ἔγκυρος,
τῆς εὐχῆς διδάσκαλος,
καὶ ἀλείπτης σοφώτατος,
τοῖς μαθηταῖς σου καὶ ὑπηκόοις σου,
τοῖς κοσμικοῖς ὁμοῦ καὶ μονάζουσιν.
Ὅθεν τὴν μνήμην σου,
ἐκτελοῦντες λέγομεν·
ταῖς σαῖς λιταῖς,
Παραδείσου τύχωμεν,
μακαριότητος.

Πάτερ Ἰωσὴφ πανάριστε,
τὴν Φιλοθέου Μονήν,
καὶ κοινόβια ἅπαντα,
καὶ τὰς σκήτας ὅσιε,
καὶ καλύβας τοῦ Ἄθωνος,
καὶ τὴν πατρίδα ἡμῶν πανόλβιε,
ἀπὸ κινδύνων καὶ περιστάσεων,
ταῖς ἱκεσίαις σου,
μὴ ὀκνήσῃς ὅσιε,
πρὸς τὸν Χριστόν,
προφυλάσσων πάντοτε,
ἀειμακάριστε.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ,
τὴν φωνὴν ἠνωτίσθης τοῦ Δεσπότου,

τὴν εὐκρινῶς λέγουσαν,
πᾶς ὅστις ἀφῆκε τὰ τοῦ κόσμου,
λήψεται ἑκατονταπλασίονα,
προσέφυγες τῷ Ἄθωνι,
καὶ τὰ πέντε τάλαντα,
ἀσκητικῶς ηὔξανες εἰς δέκα.
Καὶ πατὴρ γενόμενος μοναζόντων,
ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις,
τὸ βραβεῖον ἐκέρδησας,
τῆς ἄνω κλήσεως,
καὶ συνδιαιτᾶσαι μετὰ τῶν ἀπ' αἰώνων ὁσίων,
πρεσβεύων ἀπαύστως,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.
Δεῦτε φιλεόρτων τὸ σύστημα,
δεῦτε καὶ χορείαν στησώμεθα,
δεῦτε καταστέψωμεν ᾄσμασι τὴν Ἐκκλησίαν,
τῇ καταπαύσει τῆς Κιβωτοῦ τοῦ Θεοῦ.
Σήμερον γὰρ οὐρανός ἐφαπλοῖ τοὺς κόλπους,
δεχόμενος τὴν τετοκυῖαν τὸν ἐπὶ πᾶσι μὴ χωρουμενον,
καὶ ἡ γῆ τὴν πηγὴν τῆς ζωῆς ἀποδιδοῦσα,
τὴν εὐλογίαν στολίζεται καὶ εὐπρέπειαν.
Ἄγγελοι χοροστατοῦσι σύν Ἀποστόλοις,
περιδεῶς ἐνατενίζοντες,
ἐκ ζωῆς εἰς ζωὴν μεθισταμένης,
τῆς τεκούσης τὸν ἀρχηγὸν τῆς ζωῆς.
Πάντες προσκυνήσωμεν αὐτήν δεόμενοι.
Συγγενοῦς οἰκειότητος μὴ ἐπιλάθῃ Δέσποινα,
τῶν πιστῶς ἑορταζόντων,
τὴν παναγίαν σου Κοίμησιν.

# ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοὶ
καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολος καὶ Εὐαγγέλιον
τῆς 5ης Δεκεμβρίου (ὁσίου Σάββα).

Κοινωνικόν.
Εἰς μνημόσυνον.

Μεγαλυνάριον.

Χαίροις μονοτρόπων κῦδος σεμνόν,
τοῦ Ἁγίου Ὄρους,
τὸ ὑπόδειγμα μοναχοῖς,
χαίροις Φιλοθέου μονῆς ὁ εὐεργέτης,
ὦ Ἰωσὴφ θεόφρον,
πιστῶν τὸ στήριγμα.